9 [9]καὶ Ιεχονιας καὶ Σαμαιας καὶ Ναθαναηλ ὁ ἀδελφὸς καὶ Ασαβιας
καὶ Οχιηλος καὶ Ιωραμ χιλίαρχοι ἔδωκαν τοῖς Λευίταις εἰς πασχα
10 πρόβατα πεντακισχίλια, μόσχους ἑπτακοσίους. [10]καὶ ταῦτα τὰ γενό-
11 μενα· εὐπρεπῶς ἔστησαν οἱ ἱερεῖς καὶ οἱ Λευῖται [11]ἔχοντες τὰ
12 ἄζυμα κατὰ τὰς φυλὰς [12]καὶ κατὰ τὰς μεριδαρχίας τῶν πατέρων
ἔμπροσθεν τοῦ λαοῦ προσενεγκεῖν τῷ κυρίῳ κατὰ τὰ γεγραμμένα
13 ἐν βιβλίῳ Μωυσῆ, καὶ οὕτω τὸ πρωινόν. [13]καὶ ὤπτησαν τὸ πασχα
πυρὶ ὡς καθήκει καὶ τὰς θυσίας ἥψησαν ἐν τοῖς χαλκείοις καὶ
14 λέβησιν μετ᾽ εὐωδίας καὶ ἀπήνεγκαν πᾶσι τοῖς ἐκ τοῦ λαοῦ. [14]μετὰ
δὲ ταῦτα ἡτοίμασαν ἑαυτοῖς τε καὶ τοῖς ἱερεῦσιν ἀδελφοῖς αὐτῶν
υἱοῖς Ααρων· οἱ γὰρ ἱερεῖς ἀνέφερον τὰ στέατα ἕως ἀωρίας, καὶ
οἱ Λευῖται ἡτοίμασαν ἑαυτοῖς καὶ τοῖς ἱερεῦσιν ἀδελφοῖς αὐτῶν
15 υἱοῖς Ααρων. [15]καὶ οἱ ἱεροψάλται υἱοὶ Ασαφ ἦσαν ἐπὶ τῆς τάξεως
αὐτῶν κατὰ τὰ ὑπὸ Δαυιδ τεταγμένα καὶ Ασαφ καὶ Ζαχαριας καὶ
Εδδινους οἱ παρὰ τοῦ βασιλέως, καὶ οἱ θυρωροὶ ἐφ᾽ ἑκάστου πυ-
λῶνος· οὐκ ἔστιν παραβῆναι ἕκαστον τὴν ἑαυτοῦ ἐφημερίαν, οἱ
16 γὰρ ἀδελφοὶ αὐτῶν οἱ Λευῖται ἡτοίμασαν αὐτοῖς. [16]καὶ συνετελέ-
σθη τὰ τῆς θυσίας τοῦ κυρίου ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ἀχθῆναι τὸ
πασχα καὶ προσενεχθῆναι τὰς θυσίας ἐπὶ τὸ τοῦ κυρίου θυσια-
17 στήριον κατὰ τὴν ἐπιταγὴν τοῦ βασιλέως Ιωσιου. [17]καὶ ἠγάγοσαν
οἱ υἱοὶ Ισραηλ οἱ εὑρεθέντες ἐν τῷ καιρῷ τούτῳ τὸ πασχα καὶ
18 τὴν ἑορτὴν τῶν ἀζύμων ἡμέρας ἑπτά. [18]καὶ οὐκ ἤχθη τὸ πασχα
τοιοῦτο ἐν τῷ Ισραηλ ἀπὸ τῶν χρόνων Σαμουηλ τοῦ προφήτου,
19 [19]καὶ πάντες οἱ βασιλεῖς τοῦ Ισραηλ οὐκ ἠγάγοσαν πασχα τοιοῦ-
τον, οἷον ἤγαγεν Ιωσιας καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται καὶ οἱ Ιου-
δαῖοι καὶ πᾶς Ισραηλ οἱ εὑρεθέντες ἐν τῇ κατοικήσει αὐτῶν ἐν
20 Ιερουσαλημ· [20]ὀκτωκαιδεκάτῳ ἔτει βασιλεύοντος Ιωσιου ἤχθη τὸ
21 πασχα τοῦτο. — [21]καὶ ὠρθώθη τὰ ἔργα Ιωσιου ἐνώπιον τοῦ κυ-
22 ρίου αὐτοῦ ἐν καρδίᾳ πλήρει εὐσεβείας. [22]καὶ τὰ κατ᾽ αὐτὸν δὲ
ἀναγέγραπται ἐν τοῖς ἔμπροσθεν χρόνοις, περὶ τῶν ἡμαρτηκότων
καὶ ἠσεβηκότων εἰς τὸν κύριον παρὰ πᾶν ἔθνος καὶ βασιλείαν,
καὶ ἃ ἐλύπησαν αὐτὸν ἐν αἰσθήσει, καὶ οἱ λόγοι τοῦ κυρίου ἀν-
έστησαν ἐπὶ Ισραηλ.

23 [23]Καὶ μετὰ πᾶσαν τὴν πρᾶξιν ταύτην Ιωσιου συνέβη Φαραω
βασιλέα Αἰγύπτου ἐλθόντα πόλεμον ἐγεῖραι ἐν Χαρκαμυς ἐπὶ τοῦ
24 Εὐφράτου, καὶ ἐξῆλθεν εἰς ἀπάντησιν αὐτῷ Ιωσιας. [24]καὶ διεπέμ-

9 ασαβιας *L*†] σαβ. rel. | οχιηλος] οζι. AV(†), αχι. compl.; ιειηλ *L*†: ex Par. II 35 9 | πεντακισχιλια] χιλια B† (B*† χειλ.), πεντακοσια V† || 10 ταυτα τα γεν. B*L*†] τουτων γενομενων rel. || 13 πυρι] pr. εν B*(†) | ηψησαν] ωπτησαν A† || 15 οι $2^{0}$] ο A | αυτοις] εαυ. B*L* (+ και τοις αδελφοις αυτων *L*†) || 16 του κυριου $1^{0}$] τω -ριω A† | προσενεχθ.] προσαχθ. B || 19 τοιουτο A | οι ευρεθεντες] ο ευρεθεις B† || 22 α > A | εν αισθησει] εστι(ν) (sic) B*L*† || 23 χαρκαμυς B†] καρχαμ. pl., καλχαμ. A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/926 UNIVERSITÄT LEIPZIG